# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

# ΧΑΡΙΤΩΝΟΣ

ΚΑΙ ΤΟΥ ΟΣΙΟΥ

ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΥΞΕΝΤΙΟΥ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

1914.

ΕΝ ΛΕΥΚΩΣΙᾼ (ΚΥΠΡΟΥ)

ΤΥΠΟΙΣ “ΠΑΡΝΑΣΣΟΥ„ Κ. Χ. ΗΣΥΧΟΥ.

# ΜΗΝΙ ΣΕΠΤΕΜΒΡΙΩι ΚΗ΄.

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

# ΧΑΡΙΤΩΝΟΣ

## ΚΑΙ ΤΟΥ ΟΣΙΟΥ

## ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΥΞΕΝΤΙΟΥ

## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

*Ἑσπέρας, μετὰ τὸν προοιμιακὸν Ψαλμόν, τὸ* **Μακάριος ἀνήρ.** *Εἰς τὸ* **Κύριε ἐκέκραξα,** *ἱστῶμεν στίχους, στ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμια τοῦ Ἁγίου Χαρίτωνος ἦχος δ΄.*

*Ἔδωκας σημείωσιν.*

Πάθη τὰ τοῦ σώματος, δι᾿ ἐγκρατείας ἐμάρανας, καὶ συντόνου δεήσεως· καὶ ὄφιν τὸν δόλιον, τῶν δακρύων ὄμβροις, ἀπέπνιξας Πάτερ, καὶ εὐηρέστησας Θεῷ, ὑπερβαλλόντως Χαρίτων ὅσιε, διὸ σε κατεκόσμησεν, ἐπ᾿ οὐρανίοις χαρίσμασιν Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἱδρῶσιν ἀσκήσεως, ἐναποσβέσας τοὺς ἄνθρακας, τῶν παθῶν ἀξιάγαστε· πυρὶ προσωμίλησας, αἰκισμῶν καὶ πόνων, καθομολογήσας, πρὸ τῶν ἀνόμων δικαστῶν, τοῦ σαρκωθέντος λόγου τὴν κένωσιν· καὶ μάρτυς ἐχρημάτισας, πεποικιλμένος τοῖς στίγμασι, πολυτρόπων κολάσεων, Θεοφόρε Πανόλβιε.

Ἐρήμοις καὶ ὄρεσι, φυγαδεύων ἐμάκρυνας τὴν ψυχὴν ἀκηλίδωτον, τηρῶν ἱερώτατε καὶ Τριάδος οἶκος, χαρίτων ἐδείχθης, ἧς τῇ δυνάμει ἱεροὺς ἀνεκομίσω οἴκους Μακάριε, καὶ μάνδρας εἰς σωτήριον, τῶν Μοναστῶν περιποίησιν τῶν τιμόντων τὴν μνήμην σου τὴν Ἁγίαν ἀοίδιμε.

*Καὶ τοῦ Ὁσίου Αὐξεντίου. ἦχος α΄.*

**Τῶν Οὐρανίων Ταγμάτων τὸ ἀγαλλίαμα.**

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου νῦν ἠξιώθης οἰκεῖν, καὶ σὺν Ἀγγέλοις μέλπειν, τὸν Τρισάγιον ὕμνον. Αὐξέντιε Τρισμάκαρ ὑπὲρ ἡμῶν τῶν σῶν δούλων δεήθητι ἐλεηθῆναι ῥυσθῆναι τε τῶν δεινῶν, καὶ κινδύνων εὐφημούντων σε.

Τῶν Οὐρανίων τὰ κάλλη, Πάτερ ἀπείληφας, καὶ σὺν Ὁσίοις πᾶσι, τῷ Θεῷ ἐκολλήθης Αὐξέντιε σῶν πόνων τὰς ἀμοιβάς, πρὸς Χριστοῦ τοῦ Κυρίου σου ὃν ἐκδυσώπει κινδύνων καὶ πειρασμῶν, ῥῦσαι πάντας τοὺς τιμῶντας σε.

Στρατείαν, πλοῦτον, καὶ κόσμου πᾶσαν τερπνότητα, διὰ Χριστοῦ τὸν πόθον εἰς οὐδὲν ἐλογίσω διὸ καὶ ἀνεβόας τοῖς περὶ σέ, ἀγαθὸν ἐστὶ φίλοι μου, τῷ δυνατῷ προσκολλᾶσθαι σώζειν ὁμοῦ, ψυχὰς πάντων καὶ τὰ σώματα.

*Δόξα ἦχος πλ. β'.*

Τῶν ἀσκητῶν τὴν καλλονήν, καὶ τῶν Ὁσίων κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ τῶν πιστῶν ἀντιλήπτορα μέγιστον συνελθόντες ἀναδύσωμεν διαδήμασιν ἐγκωμίων, καὶ τούτῳ προσείπωμεν χαίροις ὁ τῶν Κυπρίων φρουρός, καὶ ἔρεισμα σεπτόν, καὶ στύλος ἀδιάπτωτος· χαίροις Ἀλαμανίας βλαστός, καὶ τῆς κώμης κοσμήτωρ καὶ λαμπτήρ, διαλάμπων τοῖς θαύμασι. Χαίροις τῶν θλιβομένων μεγίστη χαρμοσύνη, καὶ ἀδικουμένων, θερμότατος ἔκδικος καὶ νῦν Παμμάκαρ Αὐξέντιε, μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν τῷ Χριστῷ, τῶν ἐν πίστει καὶ πόθῳ τιμώντων ἀεί, τὴν πάνσεπτον καὶ πανέορτον μνήμην σου.

*Καὶ νῦν.* **Τίς μὴ μακαρίσει σε.**

*Εἴσοδος, τὸ* **Φῶς ἱλαρόν.**

*Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

Σοφίας Σολομῶντος, τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ, καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτούς, ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ Ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι Λαῶν, καὶ Βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ Ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος, τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον, λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ



δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν. ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς καὶ συνέτε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῶν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον. οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώπων, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔπαυσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ Ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τὴν λιτήν, στιχηρὰ ἰδιόμελα, ἦχος α'.*

Ἐνατενείσας ἀκλινῶς, τῷ ὕψει τῆς γνώσεως, ἐμυήθης τὰ ἀπόρρητα ὅθεν καὶ κόσμον ἔλιπες καὶ τὴν τούτου τερπνότητα, Χριστῷ προσεκολλήθης διὸ ὑπὲρ ἡμῶν αὐτὸν δυσώπει, Ὅσιε Πάτερ Αὐξέντιε.

*Ὁ αὐτός.*

Στήλη ἔμψυχος, καὶ ἔμπνους εἰκών, ἀνεδείχθη ἡμῖν ἡ σὴ πολιτεία Ὅσιε Αὐξέντιε τοῖς συνοῦσι σοι γὰρ ἔλεγες, οὐδὲν ἡμᾶς χωρίσει τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, ᾧ συστρατιῶται διὰ στρατείαν πρόσκαιρον, εἰς οὐδὲν λογισάμενος, πατρίδα ἠρνήσω καὶ Κύπρον κατέλαβες, καὶ στενωτάτῳ ἄντρῳ σεαυτὸν ἐγκαθήρξας, νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ προσευχῇ ἐπιμόνῳ, χάριν ἔλαβες παρὰ Χριστοῦ τοῦ Κυρίου σου, διώκειν δαίμονας, καὶ ἰᾶσθαι νοσήματα αὐτὸν δυσώπει ὑπὲρ ἡμῶν Πάτερ ἀοίδιμε.

*Ἦχος, δ'.*

Ἀλαμανίας ἄνθος τὸ τερπνότατον, ὁ ἐν πολέμοις καὶ στρατείᾳ διαπρέψας, μέγιστος Αὐξέντιος ὁ διὰ Χριστὸν Κύπρον οἰκήσας, καὶ καρπασέων μέγας φρουρὸς ὑπ' αὐτοῦ

ΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘ... ΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ...

προχειρισθείς, συγκαλεῖται νῦν ἡμᾶς, πρὸς ἑστίασιν πνευματικήν, δεῦτε οὖν φιλέορτοι ἐντρυφήσωμεν, τῶν τερατουργημάτων αὐτοῦ, ὃν καὶ πρὸς Κύριον πρέσβυν ληψώμεθα ἵνα δι' αὐτοῦ τύχωμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

*Δόξα. ἦχος πλ. δ'.*

Ὦ τοῦ μεγίστου Μυστηρίου τῆς τοῦ Χριστοῦ δυνάμεως ὁ ἐν πολέμοις καὶ στρατιαῖς εὐδοκιμῶν, καὶ τοῖς ἐχθροῖς ἀνάλωτος, τὸν τῶν ἀζύγων βίον ὕστερον ἠρετίσατο, τὸν ἀρχέκακον ἐχθρὸν πτερνίσας, Κύπρον ᾤκησε, καὶ ταύτης τὰς ἐρήμους ὡς πόλεις εἰργάσατο πλήθη πάμπολλα Χριστῷ προσαγαγών, δι' ἀσκήσεως καὶ σεμνῆς πολιτείας, καὶ τούτους πρέσβεας πρὸς Κύριον ἡμῖν ἀναδειξάμενος πρὸς ὃν καὶ ἡμεῖς ἱκετικῶς οὕτως εἴπωμεν. Ὅσιε Πάτερ Αὐξέντιε, τοὺς τὴν σὴν πανήγυριν χαρμονικῶς ἐπιτελοῦντας, λύτρωσαι ἐκ κινδύνων ψυχικῶν, τῇ πρὸς Θεὸν πρεσβείᾳ σου, καὶ τῶν τοῦ Κόσμου δυσχερῶν ἀπάλλαξον Πάτερ ἀοίδημε.

*Καὶ νῦν. Θεοτόκιον.* **Δέσποινα πρόσδεξαι.**

*Εἰς τὸν στίχον στιχηρὰ προσόμοια. ἦχος πλ. α'.*

**Χαίροις ἀσκητικῶν ἀληθῶς.**

Χαίροις ἀγωνισμάτων σεπτόν, καὶ καθαρὸν τῶν ἀρετῶν καταγώγιον, ἡ κρίνη τῶν ἰαμάτων, ἡ τῶν θαυμάτων πηγή, τοῖς πιστοῖς τὰ ῥεῖθρα ἡ προχέουσα ὁ Θεῖος Αὐξέντιος, ὁ αὐξήσας τὸ τάλαντον, καὶ τῷ Δεσπότῃ σῳζομένην παρέστησε πληθὺν ἄπειρον, καὶ Ἀγγέλοις κατέσμιξεν ὅθεν Χριστὸς ἠμείψατο, αὐτὸν θείαις χάρισι, καὶ πρεσβευτὴν τῶν τιμώντων αὐτοῦ τὴν μνήμην ἀνέδειξε διὸ νῦν εἰρήνην ἱκετεύει δοῦναι πᾶσι καὶ μέγα ἔλεος.

**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.**

Δένδρον ἀειθαλὲς τοῖς πιστοῖς, πεφυτευμένον τῶν ὑδάτων ὡς γέγραπται, παρὰ θου τὰς διεξόδους καρποὺς τοὺς αὐτοῦ, ἐν καιροῖς τοῖς ἰδίοις παρεχόμενον, ἡμῖν καὶ γλυκαῖνον τὰ τῶν ψυχῶν αἰσθητήρια, ἀπομαραῖνον τῶν παθῶν τὰ νοσήματα, ἐκριζοῦν αὐτά, τῶν ψυχῶν θείᾳ χάριτι ὅθεν νῦν ἐκβοήσωμεν Παμμάκαρ Αὐξέντιε, ὑπὲρ ἡμῶν τῶν ἐν πίστει, ἐπιτελούντων τὴν μνήμην σου, μὴ παύσῃ πρεσβεύων, τοῦ δοθῆναι τὴν εἰρήνην, καὶ μέγα ἔλεος.

**Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον.**

Φοίνιξ πεφυτευμένος αὐλαῖς, προφητικῶς ταῖς τοῦ Κυρίου σου Ὅσιε, ἀνθήσας καὶ ὡσεὶ κέδρος, ἐν τῷ Λιβάνῳ σαφῶς, πληθυνθεὶς τὴν Κύπρον κατεπλούτησας· αὐτ τῆς τὰς ἐρήμους ὡς πόλεις Μάκαρ ἀνέδειξας, καὶ μοναζόντων συστημάτων ἐπλήρωσας, καὶ ἐδίωξας τῶν Δαιμόνων τὰς φά-



λαγγας ὅθεν Πάτερ Αὐξέντιε, τὴν θείαν σου Λάρνακα, τὴν τῶν Λειψάνων κυκλοῦντες, περιχαρῶς ἀσπαζόμεθα, ἐξ ἧς ἡμῖν δίδου ταῖς εὐχαῖς σου εὐρωστείαν, καὶ μέγα ἔλεος.

*Δόξα. ἦχος πλ. δ'.*

Τῶν τῇδε ὑπερφρονήσας, τοῦ Κυρίου ἐραστής, ἐγένου Πάτερ Αὐξέντιε· καὶ Χριστὸν ἐνστερνησάμενος, κόσμον κατέλιπες, καὶ παρ' αὐτοῦ τὰ γέρα, ἀντάξια τῶν σῶν πόνων εὑράμενος· τὸν χρυσὸν ὡς πηλὸν γὰρ λελόγισαι, καὶ τοῖς συνεπομένοις σοι κραυγάζων ἔλεγες· τὴν σάρκα νεκρώσωμεν ὦ συστρατιῶται μου, τὸ γὰρ ταύτης φρόνημα, ἔχθρα εἰς Θεόν, ὡς Παῦλος φησὶν ὁ μέγας Ἀπόστολος, ὅθεν καὶ ἡ θήκη τῶν Λειψάνων σου, εὐωδίαν πνευματικὴν ἀναπέμπουσα, εὐωδιάζει τῶν πιστῶν τὰς διανοίας διὸ Πάτερ Ὅσιε, μὴ παύσῃ πρεσβεύων πρὸς Κύριον, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν θείαν καὶ πάνσεπτον μνήμην σου.

*Καὶ νῦν. Θεοτόκιον.* **Ἀνύμφευτε Παρθένε.**

**Τὸ νῦν ἀπολύεις. Τὸ τρισάγιον.** *καὶ τὸ ἀπολυτίκιον ἦχος πλ. δ'.*

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας καὶ τοῖς ἐκ βάθων στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασι, χαρίτων Πατὴρ ἡμῶν Ὅσιε πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα, τοῦ Ἁγίου Αὐξεντίου. ἦχος γ'.*

Χαίρει ἔχουσα ἡ καρπασέων κώμη λάρνακα τῶν σῶν Λειψάνων, παναοίδημε Πάτερ Αὐξέντιε ὡς γὰρ ποτὲ πολεμίους κατήσχυνας, καὶ τῶν δαιμόνων τὸ θράσος ἐνίκησας, καὶ κατήφρανας ἡμᾶς τοὺς πιστῶς σοι κράζοντας ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Τὸ* **Θεοτόκε Παρθένε.**

*Καὶ ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἀπόλυσις.*

*Εἰς τὸν ὄρθρον, μετὰ τὴν πρώτην στιχολογίαν, καθίσματα ἦχος α'.*

**Τὸν Τάφον σου Σωτήρ.**

Ὡς Ἥλιος φαιδρός, ἡ Ἁγία σου μνήμη, ἀνέτειλε νυνί, καὶ ἐφαίδρυνε πάντας, πιστοὺς προσπελάζοντας, τῇ σορῷ τῶν Λειψάνων σου, Πάτερ Ὅσιε, ἀδιαλείπτως ἀμείβων, χάριν ἔλεος, καὶ τῶν δεινῶν νῦν τὴν λύσιν, εὐχαῖς σου πρὸς Κύριον.

*Δόξα πάλιν τὸ αὐτό. Καὶ νῦν Θεοτόκιον.*

Ἀνύμφευτε Ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον ταῖς θείαις πρεσβείαις σου.

*Ἑτέρα, ἦχος γ'.* **Τὴν ὡραιότητα τῆς Παρθενίας σου.**

Υψοῦ διάνοιαν ἄνω μετάρσιος, γηΐνης σχέσεως καταπεφρόνηκας, ἐν στενωτάτῳ καὶ σμικρῷ, ἄντρῳ συνθλιβόμενος. Τήξας τὸ σαρκίον σου προσευχαῖς τε καὶ δάκρυσιν, ὅθεν καὶ ἠμείψατο, ὁ Χριστός σε Αὐξέντιε, χαρίσμασιν αὐτοῦ, ἀθανάτοις, ὅπως ἀεὶ σὲ δοξάζομεν.

*Δόξα. Πάλιν τὸ αὐτό. Καὶ νῦν. Θεοτόκιον.*

Ἀκατανόητον καὶ ἀκατάληπτον, ὑπάρχει Δέσποινα θεοχαρίτωτε, τὸ πεπραγμένον ἐπὶ σοί, φρικτὸν τοῦτο μυστήριον· τὸν γὰρ ἀπερίγραπτον συλλαβοῦσα ἐκύησας, σάρκα περιθέμενον, ἐξ ἀχράντων αἱμάτων σου. ὃν πάντοτε ἁγνὴ ὡς υἱόν σου δυσώπει, τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Μετὰ τὸν πολυέλεον, ἦχος πλ. δ'.*

**Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί.**

Ἐδεσμεύθης τῷ πόθῳ τῷ τοῦ Χριστοῦ, καὶ στρατόν τε καὶ πλοῦτον καταλιπὼν τῆς ἐνεγκαμένης σε μετανάστης γενόμενος, καὶ πρὸς Κύπρον ἔφθασας, ἐρήμοις καὶ ὄρεσιν, φυγαδεύων ὥσπερ σαυτὸν ἀπεμάκρυνας ὅθεν καρπασέων οἱ χοροὶ συνελθόντες, ἐν ὕμνοις γεραίρουσι τὴν σεπτήν σου πανήγυριν, Θεοφόρε Αὐξέντιε πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν Ἁγίαν Μνήμην σου.

*Δόξα ὅμοιον. Τοῦ Ἁγίου Χαρίτωνος.*

Τῆς ἀθλήσεως πόνοις δοκιμασθείς, τῆς ἀσκήσεως ἄθλοις βεβαιωθείς, χρυσίου λαμπρότερον, εὐσεβείᾳ ἀπήστραψας καὶ καθαρὸν δοχεῖον, ὑπῆρξας τοῦ πνεύματος, καὶ πονηρῶν πνευμάτων, τὸ σκότος ἐμείωσας ὅθεν συναθροίσας, μοναζόντων ἀγέλας, ποιμὴν τούτων γέγονας, καὶ φωστὴρ διαγεύστατος, ὦ Χαρίτων Μακάριε πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν Ἁγίαν Μνήμην σου.

*Καὶ νῦν. Θεοτόκιον.*

Ἀσθενείᾳ βαρείᾳ περιπεσών, καὶ δεινῶς ἐν τοῖς πόνοις κατακαμφθείς, οὐ φέρω τὸν καύσωνα τῆς δεινῆς ῥαθυμίας μου, ἀλλ' ὁ εἰδὼς ἑκάστου, σωτὴρ τὴν ἀσθένειαν, καὶ ὡς Πατὴρ παιδεύων, τοὺς γνώμῃ σοι πταίσαντας, σύ με ἐξανάστησον δυνατὸς γὰρ ὑπάρχεις, ἰᾶσθαι νοσήματα, τῶν ψυχῶν καὶ σωμάτων ἡμῶν, ἵνα πάντοτε κράζωμεν· μεγάλα σου τὰ ἔργα Σωτήρ, καὶ φοβερὰ τὰ θαυμάσια, λύτρωσαι γὰρ πιστοὺς ἐξ ἀναγκῶν, ταῖς πρεσβείαις τῆς μόνης θεόπαιδος.

*Οἱ ἀναβαθμοί. Τὸ πρῶτον ἀντίφωνον τοῦ δ'. ἤχου προκείμενον.*

**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.**

**Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.**

*Τὸ* **Πᾶσα πνοή.** *Εὐαγγέλιον ὁσιακὸν ὁ Ν'.*



*Δόξα.* **Ταῖς τοῦ σοῦ Ὁσίου.** *Καὶ νῦν.* **Ταῖς τῆς Θεοτόκου.**

**Ἐλεῆσόν με ὁ Θεός.**

*Τὸ ἰδιόμελον, ἦχος πλ. β'.*

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παρρησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

**Σῶσον ὁ Θεὸς τὸν Λαόν σου.** *καὶ οἱ κανόνες. ὁ Κανὼν τῆς Θεοτόκου εἰς ς'. καὶ τῶν Ἁγίων εἰς η'.* **Τῆς Θεοτόκου.**

*Ἦχος α'. Ὠδὴ α'. Ὁ Εἱρμός.*

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύει δεδόξασται. αὕτη γὰρ ἀθάνατε, ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε· τοῖς Ἰσραηλίταις ὁδὸν βυθοῦ καινουργήσασα.

*Δίς.*

Ἄχραντε πανάσπιλε Ἁγνή, Παρθενομήτωρ ψυχήν μου τυφλώττουσαν, φώτισόν μου δέομαι ὅπως ᾠδὴν τοῦ Ἀρχαγγέλου λέξω σοι, χαῖρε Θεοτόκε, Παρθένε Μήτηρ ἀπείρανδρε.

Βαβαὶ τοῦ φρικτοῦ σου τοκετοῦ, τῶν Μυστηρίων, πῶς Παρθένος ἔτεκες, τὸν πλαστουργὸν καὶ ποιητὴν τῆς κτίσεως καὶ μετὰ τὸν τόκον πάλιν Παρθένος διέμεινας.

Γῆθεν ἀνυψώσασα πιστούς, καταπεσόντας πρὸς πόλον ἀνώτατον, τὸν Χριστὸν κυήσασα, τὸν δι' ἡμᾶς τὰ πάθη ὑπομείναντα, καὶ ἐξαναστάντα, διό σοι χαῖρε κραυγάζομεν.

Ταύτην σοι προσάγω ἀγαθή, τὴν ἱκεσίαν ἐξ ἀχρείου μου στόματος, δέχου οὖν πανύμνητε, μετὰ Θεὸν ἐλπὶς καὶ προστασία μου, χαῖρε Θεοτόκε, ἁμαρτωλῶν ἡ βοήθεια.

*Ἕτερος Κανὼν τοῦ Ἁγίου Χαρίτωνος. ἦχος δ'.*

**Θαλάσσης τὸ Ἐρυθραῖον Πέλαγος.**

Θαλάσσης ἀθλητικῆς τὸ Πέλαγος, διανοιξάμενος, τῷ ζωηφόρῳ ὅπλῳ τοῦ Σταυροῦ Φαραὼ τὸν ἀλάστορα, τὸν νοητὸν Μακάριε, θείᾳ Δυνάμει κατεπόντισας.

Κυρίῳ ἀνατεθεὶς Μακάριε, σπαργάνων ἐκ μητρικῶν τοῦ τυραννικοῦ πρὸ βήματος Χριστόν, Θεοφρόνως ἐκήρυξας. Μωσαϊκῶς καθεῖλες δέ, τῶν ἀντιπάλων τὰ φρυάγματα.

Τῆς πλάνης καταλιπὼν τὴν Αἴγυπτον, Χαρίτων Ὅσιε καὶ ἐρημοπολίτης γεγονώς, καθαρῶς προσωμίλησας τῷ καθαρῷ καὶ εἴληφας, τὴν κληρουχίαν τὴν Οὐράνιον.

*Θεοτόκιον.*

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος τὸν τοῦ Πατρὸς συνήληφας υἱόν, καὶ σαρκὶ ἀπεκύησας τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

*Ἕτερος τοῦ Ἁγίου Αὐξεντίου ἦχος πλ. δ΄.*

**Ἁρματηλάτην Φαραώ.**

Ἄνω πρὸς μόνον τὸν ἐν τῇ φύσει πέλοντα, ἕνα Θεὸν τοῦ παντός, ἠτενικῶς ὄμμα, τὸ τῆς διανοίας μου, κἀκεῖθεν ἐξαιτούμενος, λύσιν τῶν ἐγκλημάτων, καὶ φωτισμόν μοι δωρήσασθαι, μέλψαι Αὐξεντίου πανήγυριν.

Μόνον Χριστὸν ἐπιποθῶν Αὐξέντιε, οὗ τὸν ζυγὸν τὸν Χριστόν, ἀναλαβὼν Μάκαρ, ἀκλινῶς διώδευσας, καὶ νουνεχῶς διήνυσας τὴν στενὴν ὄντως τρίβον, πρὸς πλατυσμὸν δέ σε φέρουσαν, εἰς τὰ τῶν Ἁγίων σκηνώματα.

Ἀνακαθάρας διανοίας ὄμματα, ταῖς ἐπαγρύπνοις εὐχαῖς, καὶ τὴν ὕλην πᾶσαν ἀποτιναξάμενος, τῶν κοσμικῶν συγχύσεων, καὶ στρατείαν καὶ πλοῦτον, Αὐξέντιε, καταλέλιπας, καὶ Χριστοῦ κατ᾽ ἴχνος ἐβάδισας.

*Θεοτόκιον.*

Ξενίζει πᾶσαν ἀκοὴν καὶ ἔννοιαν, καὶ λογισμὸν ἐξετᾷ τὸ τῆς Ἁγνῆς θεῖον καὶ φρικτὸν μυστήριον· ἐπεὶ γὰρ ὡς ἐδέξατο, τὴν φωνὴν τοῦ Ἀγγέλου, δίχα σπορᾶς ἀπεκύησας, λόγον τοῦ Πατρὸς τὸν ἀΐδιον.

*Καταβασία.* **Ἀνοίξω τὸ στόμα μου.**

*Ωδὴ γ΄: Ὁ Εἱρμός.*

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν τοῦ βοᾶν σοι Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀχράντου σου δόξης φιλάνθρωπε.

*Δίς.*

Δύναμις ὑπάρχεις ἀσθενῶν, ἰσχύς τε καὶ βοήθεια· χαῖρε ἡ μόνη πιπτόντων ἔγερσις, θνητῶν τε πάντων ἡ ἐξανάστασις τῶν βοόντων χαῖρε σοι, βάτε ἀκατάφλεκτε, Μωϋσῆς ὥσπερ πάλαι ἑώρακεν.

Ἐλπίς μου εἶ σὺ πρὸς τὸν Θεόν, καὶ πρέσβυς ἀκαταίσχυντος· ἀπεγνωσμένον με ἐλευθέρωσον, καὶ δυστυχοῦντι χεῖρα μοι ὄρεξον, ἵνα κράζω χαῖρε σοι· λαβὶς ἣν ἑώρακεν Ἡσαΐας, ὁ βλέπων ἐν πνεύματι.

Ζωὴν ἡ κυήσασα Χριστόν, τὸν πᾶσι παρεχόμενον, ζωὴν τοῖς ζῶσι Θεοχαρίτωτε· χαῖρε κατάσκιον Ὄρος Πάναγνε, νοεροῖς τοῖς ὄμμασιν, Ἀββακοὺμ τεθέαται· χαῖρε κλίμαξ, καὶ πύλη, καὶ γέφυρα.

Ὅλῃ τῇ ψυχῇ καὶ τῷ νοΐ, καρδίᾳ τε καὶ χείλεσιν, ἱκετικῶς προσπίπτω καὶ δέομαι, κατεγνωσμένον με ἐλευθέρωσον ἵνα κράζω χαῖρε σοι, ἡ Θεὸν γεννήσασα, σαρκικῶς ὑπὲρ λόγον καὶ ἔννοιαν.

*Ἄλλος.* **Εὐφραίνεται.**

Σὺ εὐφραίνεται ἐπὶ σοί, τῶν φοιτητῶν ἡ λογικὴ ποίμνη σου, πνευματικῶς Ὅσιε, τῆς σῆς κοινωνοῦσα φαιδρότητος.



Τὸ φρόνημα τῆς σαρκός, ὡς δυσμενείας εἰς Θεὸν αἴτιος, τὸ τῆς ζωῆς πνεύματι, Ὅσιε χαρίτων ὑπέταξας.

Καθεῖλες Δαβιτικῶς, τοῦ ἀλλοτρίου Γολιὰθ Ὅσιε, τὴν νοητὴν δύναμιν, ἐν τῇ πανπευχίᾳ τοῦ Πνεύματος.

*Θεοτόκιον.*

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

*Ἄλλος.* **Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

Ὁ συναθροίσας νῦν ἡμᾶς, Αὐξέντιος ἐν τῇ κώμῃ τῇ μεγίστῃ πρὸς φαιδρὰν πανδαισίαν, ἐν τῇ μνήμῃ τῇ αὐτοῦ δοξολογοῦντες Κύριον, τὸν θαυμαστὸν Ἁγίοις, ἐν γῇ τοῖς τοῦτον δοξάσασι.

Σὺν τῇ ἁμάξῃ καὶ ἡμεῖς, ἀκολουθοῦντες ἐν κώμῃ, καρπασέων τοῖς χοροῖς συνημμένοι, λιτανεύοντες θερμῶς, τὸν Ὅσιον Αὐξέντιον ὅπως πρεσβείαις τούτου, ῥυσθείημεν τῶν κολάσεων.

Φωτὶ τῷ θείῳ παρεστώς, ὡς ἔχων νῦν παρρησίαν, καὶ πρὸς πρόσωπον ὁρᾷς τὴν Τριάδα, ἣν καὶ μέλπεις ἐκβοῶν. Ἅγιος εἶ φιλάνθρωπε, σῶσον τῇ σῇ ἰσχύϊ, λαὸν καὶ ποίμνην σὴν Δέσποτα.

*Θεοτοκίον.*

Ἐκ τῶν τῆς Ἄγαρ νῦν υἱῶν, ἐκλυτρωθῆναι τοὺς πίστει, προσεδρεύοντας τῷ Θείῳ Ναῷ σου· καὶ πάντων συμφορῶν ἀπάλλαξον Μητρόθεε, ὡς παρρησίαν ἔχεις πρὸς τὸν Υἱόν σου καὶ Κύριον.

Καταβασία. **Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.**

Κοντάκιον τοῦ Ἁγίου Χαρίτωνος ἦχος, β΄.

**Τοὺς ἀσφαλεῖς καὶ Θεοφθόγγους.**

Τὸν ἀσκητὴν τῆς εὐσεβείας ἅπαντες καὶ ἀθλητὴν τῆς ἀληθείας σήμερον οἱ πιστοὶ ἐν ὕμνοις καὶ ἐγκωμίοις εὐφημήσωμεν, Χαρίτωνα ποιμένα καὶ διδάσκαλον τοῦ κόσμου φωστῆρα τὸν Παγκόσμιον.

Ὁ Οἶκος.

Τοῦτον τὸν μέγαν ἐν τοῖς Ὁσίοις φωστῆρα, τὸν Θεῖον Ἰκονίου πιστοί, Χαρίτωνα τὸν Μακάριον ἐν ὑμνῳδίαις ἀνευφημοῦμεν καὶ ἐν ᾄσμασι θείοις, αὐτοῦ τὴν κάραν στέψωμεν· τὴν γὰρ ἀχλὴν τῶν ματαίων ἠδάφισε σὴν τούτοις καὶ τῶν δαιμόνων τὴν ἐνέργειαν, πᾶσαν ἐνέκρωσε· διὸ τοὺς πόνους μὲν ἤνεγκε, τῶν βραβείων δὲ ἔτυχεν ἀληθῶς· αὐτὸν οὖν ἐπαινοῦντες γεραίρομεν τοῦ κόσμου φωστῆρα τὸν παγκόσμιον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καθίσματα· ἦχος δ'. **Ταχὺ προκατάλαβε**

Τοῖς λόγοις ἐκόσμησας, τὴν Ἐκκλησίαν Χριστοῦ· τοῖς ἔργοις ἐτίμησας τὸ κατ' εἰκόνα Θεοῦ Χαρίτων Μακάριε· ἔλαμψε γὰρ ἐν κόσμῳ, ἡ ἐν σοὶ σωφροσύνη. Χάριτας ἰαμάτων ἀπαστράπτουσα πίστει διὸ καὶ ἑορτάζομεν πόθῳ τὴν μνήμην σου.

Ἕτερον. ἦχος πλ. α'. Δόξα.

**Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι.**

Τὸν ὁπλίτην Κυρίου ἀνευφημήσωμεν, Ἀλαμάνης τὸ βλάστημα τὸ φαιδρότατον, ἐν ὑμνῳδίαις οἱ πιστοὶ νῦν μακαρίσωμεν τὸν καταλείψαντα στρατόν, καὶ κοσμικὴν ὑπεροχήν, καὶ ἦρε τὸν τοῦ Σωτῆρος Σταυρὸν ἐπ' ὤμων, καὶ τοῦτον, καθικετεύει σωθῆναι πάντας ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄσπορος τόκος ὁ τῆς γεννήσεως, ἐν σοὶ ἐγνώρισται Ἁγνὴ Ἀειπάρθενε· καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμὸν ἡ δόξα σου Θεοτόκε τοῖς πᾶσιν ἐφηπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ὄρος σὲ τῇ Χάριτι, τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακούμ, κατανοήσας ὀφθαλμοῖς ἐκ σοῦ ἐξελεύσεσθαι τοῦ Ἰσραὴλ προανεφώνει τὸν Ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Δίς.

Ἡ λύσασα κόρη τὴν Ἀρὰν τῆς προμήτορος, χαῖρε ἡ μόνη ἐν γαστρί, τὸν λυτρωτὴν κυοφορεῖς, καὶ τίκτεις ἀπείρανδρε· χαῖρε δι' ἧς ἐκ τῆς φθορᾶς ἀνεκλήθημεν, καὶ ἀπὸ γῆς εἰς Οὐρανοὺς ἀνεβιβάσθημεν.

Θεσπίσας προέφησε, τῶν προφητῶν ὁ μέγιστος, Παρθένος ἕξει ἐν γαστρί, καὶ τέξει τὸν Ἐμμανουήλ, θεόν τε καὶ ἄνθρωπον· χαῖρε σφραγὶς σὺ εἶ, τῶν Προφητῶν καὶ περαίωμα· χαῖρε ἡ μόνη πιστῶν τὸ διάσωσμα.

Ἰάτρευσον μώλωπας ψυχῆς μου Θεόνυμφε ἡ τετοκεῖα τοῖς βροτοῖς τὸν ἰατῆρα, Ἰησοῦν Θεὸν παντοδύναμον· χαῖρε ἐξ ἧς προῆλθε φάρμακον, λύσαν ἡμᾶς τοῦ ἀρχεκάκου ἰοῦ, καὶ ἀφανίσαν αὐτόν.

Ὑμνῶ καὶ δοξάζω σε, καὶ χαῖρε κραυγάζω σοι, ὡς διὰ σοῦ Μήτηρ Θεοῦ, προγονικῆς ἀρᾶς, βροτοὶ ῥυσθέντες τῷ τόκῳ σου, καὶ εὐλογίας μέτοχοι νῦν γεγόνασι· χαῖρε σεμνὴ Ἀδὰμ καὶ Εὔας ἡ ἐπανάκλησις.

Ἄλλος. **Δι' ἀγάπησιν οἰκτίρμον τῆς σῆς εἰκόνος.**

Τὰς τυραννούσας Χαρίτων πρὸ τελευτῆς σου, τῆς ἐγκρατείας πόνοις, ἡδονὰς θανατώσας ζωηφόρον νέκρωσιν, Ὁσίως ἐνδέδυσαι.



Τὰς συμπνιγούσας, ψυχῆς τὴν καρποφορίαν, βιωτικὰς μερίμνας, τῇ ἐμπείρῳ μελέτῃ ὡς ἀκάνθας ἔφλεξας, Χαρίτων Μακάριε.

Ἐστεφάνωσαν αἱ χάριτές σε Χαρίτων, ἀθλητικῷ Στεφάνῳ τῆς Χριστοῦ Βασιλείας· τῆς γὰρ πλάνης ἔσβεσας τὴν μέθην Μακάριε.

Θεοτοκίον.

Ἀνεκλάλητος ὁ τόκος σου ἀνεδείχθη, Θεογεννήτορ μόνη, Ἁγνὴ εὐλογημένη· ὅθεν σοι προσπίπτοντες τὸ χαῖρε κραυγάζομεν.

Ἄλλος. **Σύ μου Χριστὲ Κύριος, σύ μου καὶ δύναμις.**

Ῥῦσαι δεινῶν καὶ συμφορῶν καὶ τῶν θλίψεων, τὴν σὴν ποίμνην Ὅσιε Αὐξέντιε· καὶ ἀποδίωξον νοητοὺς λύκους τε καὶ κύνας, τοὺς καταπίειν ἐθέλοντας· αὐτὴν μεγίστην ἔχεις, πρὸς Θεὸν παρρησίαν, τὸν δυνάμενον σώζειν τὰ σύμπαντα.

Ἵνα ὑμνῶ καὶ πόθῳ ἀνακραυγάζω σοι, χαρμοσύνως Ὅσιε Αὐξέντιε τῶν Μοναστῶν χαῖρε καλλωνή, σὺ γὰρ τὰς ἐρήμους ἐπόλισας Πάτερ Ὅσιε καὶ πλήθη σωζομένων τῷ Χριστῷ προσηγάγω, λατρευσάντων πιστῶς τῷ Σωτῆρι Θεῷ.

Θεοτοκίον.

Σῶσον κἀμὲ τὸν πίστει ἀνακραυγάζοντα, σοὶ τῇ μόνῃ μεγίστῃ μεσίτρια, ἁμαρτανόντων πρὸς τὸν Θεόν· καὶ τὰ γραμματεῖα τῶν μολυσμῶν μου ἐξάλειψον, Παρθένε Θεοτόκε, παρρησίαν ὡς ἔχεις, καὶ γὰρ δύνασαι Μήτηρ ἀπείρανδρε.

Καταβασία. **Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.**

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ὁ φωτίσας τῇ ἐλλάμψει, τῆς σῆς παρουσίας Χριστὲ καὶ φαιδρύνας τῷ Σταυρῷ σου τοῦ Κόσμου τὰ πέρατα τὰς καρδίας φώτισον φωτί, τῆς σῆς θεογνωσίας τῶν ὀρθοδόξως ὑμνούντων σε.

Δίς.

Κροσσωτοῖς κεχρυσωμένη, σὺ τῆς Παρθενίας ἐν κάλλεσι καὶ φαιδρυνομένη νύμφη τῷ νυμφίῳ παρίστασαι· ὡς βασιλέα τοῦτον κόρη καθικέτευε, οἰκτειρῆσαι με, τὸν σοὶ τὸ χαῖρε κραυγάζοντα.

Λαμπρυνόν μου τὴν καρδίαν, τὴν ἀμαυρωθεῖσαν τοῖς πταίσμασι, καὶ μελανωθεῖσαν κόρη τοῖς πολλοῖς πλημμελήμασι· καθικετεύω σε μόνη προστασία μου· μὴ παρίδῃς με, ἵνα τὸ χαῖρε κραυγάζω σοι.

Μεγαλεῖα σοι ποιήσας δυνατὸς ὢν ὡς Κύριος, καὶ Παρθένον δείξας μόνην σε Μητέρα ἀπείρανδρον· τῆς Παρθενίας κατέστεψαι ταῖς χάρισι· χαῖρε Δέσποινα τῶν ὀρθοδόξων Ἀγλάϊσμα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Γεγονὼς ὅλος Παρθένε, πονηρῶν δαιμόνων κατάβρωμα καὶ τῇ προαιρέσει, σπήλαιον λῃστῶν ἐχρημάτισα, διό σοι προπίπτω ἀγαθή, καὶ χαῖρε σοι κραυγάζω μή με παρίδῃς τὸν ἀνάξιον.

Ἄλλος. **Σὺ Κύριε μου φῶς.**

Σὺ Ὅσιε φωτός, ἀκηλίδωτον ἔσοπτρον, τῆς ἄνωθεν φρυκτωρίας τηλαυγῶς ἀνεδείχθης, Χαρίτων παμμακάριστε.

Σὺ Ὅσιε δισσαῖς ἀπαστράπτεις ταῖς χάρισιν ἀθλήσεων αἰκισμοῖς γάρ, εὐσεβῶς ἐπυρσώθης, καὶ πόνοις τῆς ἀσκήσεως.

Σὺ Ὅσιε ψυχῶν ἰατρὸς ἀναδέδειξαι τὴν ἔνθεον ἐξ ὀνύχων ἁπαλῶν ἐκζητήσας, σοφίαν παμμακάριστε.

Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγές, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ Ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας Θεόνυμφε κεκτήμεθα.

Ἄλλος. **Ἵνα τί με ἀπώσω.**

Ὄλβος Πάτερ ἐδόθης, καὶ πνευματικὸν ἰατρεῖον Αὐξέντιε, τοῖς νοσοῦσιν ὥσπερ τὰς ἰάσεις ὡς νάματα βρύεις γὰρ ἐκ τῶν σῶν Λειψάνων, καὶ εὐωδίαν ἀναπέμπεις, τοῖς ἐν πίστει τιμῶσι τὴν μνήμην σου.

Νέαν ἔδειξας τρίβον, Πάτερ τοῖς νοσοῦσι σοι τὴν ἄνω φέρουσαν, καὶ στρατείαν ὥσπερ ἐπιζήμιον καταλελίπατε, καὶ τὸν κόσμον πάντα· καὶ τῷ Χριστῷ προσκολληθέντες, παρ' αὐτοῦ τοὺς στεφάνους ἐδέξασθε.

Συνὼν θείαις χορείαις, καὶ συναυλιζόμενος Πάτερ Αὐξέντιε τοῦ Θεοῦ τὸ κάλλος, καθαρῶς ἐποπτεύεις τὸ ἄρρητον ἡμῶν τῶν σῶν δούλων, ἐπιτελούντων τὴν σὴν μνήμην· μνημονεύων μὴ παύσῃ δεόμεθα.

Θεοτοκίον.

Κλίμαξ, ἣν ἴδε πάλαι Ἰακὼβ ὁ μέγιστος ἐν Πατριάρχαις Ἁγνή, ὑψουμένην ἄνω ἀπὸ γῆς πρὸς Οὐράνια Δέσποινα σὺ ὑπάρχεις ὄντως, ὁ γὰρ Θεὸς ἐν σοὶ σκηνώσας, πρὸς ἡμᾶς καταβέβηκεν Ἄχραντε.

Καταβασία. **Ἐξέστη τὰ σύμπαντα.**

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν, σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.



Δίς.

Νοοῦντες οὐκ ἰσχύομεν οἱ πήλινοι, τὸν τόκον σου τὸν ἄφραστον, Ἁγνῶν ἐξ Αἱμάτων ὁ Υἱὸς λόγος καὶ Θεός, σάρκα προσείληφε χαῖρε Ἀδὰμ καὶ Εὔας ἡ ἐπανόρθωσις.

Ξοάνων τὴν λατρείαν ἐναπέσβεσεν, ὁ τόκος τῆς θεόπαιδος, καὶ Θεὸν ἐν ὑποστάσεσι τρισὶ πάντας προσκυνεῖν καὶ λέγειν ἔπεισε· χαῖρε Ἁγνὴ πιστῶν τὸ θεῖον καὶ μέγα προπύργιον.

Ὁ λόγος τοῦ Θεοῦ ὁ ὑπερούσιος, ἐκ σοῦ Παρθένε εἴληφε, σάρκα ἔμψυχον καὶ ἔννουν ἀληθῶς· χαῖρε Παρθενίας τὸ κειμήλιον, χαῖρε ἐλπὶς καὶ προστασία πιστῶν Πανύμνητε.

Ἀνύμφευτε ἀπείρῳ ἀγαθότητι, ὁ σὸς Υἱὸς καὶ Κύριος ἵνα σώσῃ συντριβεῖσαν τῶν βροτῶν, φύσιν διὰ σοῦ βροτὸς γεγένηται, τῶν Πρωτοπλάστων χαῖρε μόνη ἡ ἀνακαίνησις.

Ἄλλος. **Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.**

Οὐ ψάμμον, ἀλλὰ Χριστὸν θεμέλιον θέμενος ἐπῳκοδόμησας Πάτερ, ἀρετὴν χρυσίου τιμιωτέραν καὶ Τριάδος, τῆς Παναγίας γέγονας οἴκημα.

Ὄργανον τῆς κακίας ὁ ὄφις γνωρίζεται ἀλλὰ τοῖς σαῖς Θεοφόρε ἀρεταῖς χαρίτων νενικημένος· τοὺς ἀδίκους, ἐκ δικαίας προνοίας ἀμύνεται.

Οὐδέν σε, τῆς πρὸς Θεὸν ἀγάπης ἐχώρισεν, οὐκ αἰκιζόμενον σῶμα, οὐ θανάτου ψῆφος ἀπειλουμένη ἐν αἰνέσει, Θεοῦ κατατρυφῶν Παμμακάριστε.

Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον· ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Ἄλλος. **Ἱλάσθητί μοι Σωτήρ.**

Ἡμέρα φωτοειδὴς ἡμῖν ἐπέστη ἡ μνήμη σου, Αὐξέντιε φωτισμὸν ἡμῖν ἐπιπέμπουσα· τοῖς Λειψάνοις ψαύουσιν, ἀκλινῆ τῇ πίστει, τοῖς σοῖς Πάτερ Ἱερώτατε.

Ναμάτων ζωοποιῶν, ἐμφορηθεὶς Πάτερ Ὅσιε καταγλυκαῖνον ἡμῶν ψυχῶν αἰσθητήρια τοῖς πόθῳ προστρέχουσι, τῷ σεπτῷ Λειψάνῳ, σοῦ ἀοίδιμε Αὐξέντιε.

Ὁ Καρπασέων λαός, πανηγυρίζει φαιδρότατα, συμπαριστάμενος νῦν τῇ σωρῷ τῶν θείων σου Λειψάνων δεχόμενος, ἰαμάτων χάριν, Παμμακάριστε Αὐξέντιε.

Θεοτοκίον.

Σὺ μόνη τῶν ὑπὲρ νοῦν, κυοφορίᾳ σου Ἄχραντε τὰ διεστῶτα τὸ πρὶν εἰς ἓν ἐπανήγαγες· καὶ γὰρ τὸν ποιήσαντα, πάντα ὑπὲρ λόγον, καὶ διάνοιαν γεγένηκας.

Καταβασία. **Τὴν θείαν ταύτην καὶ πάντιμον.**

Κοντάκιον. Ἦχος πλ. δ'.

**Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια.**

Τὸν ἐν στρατείᾳ καὶ πολέμοις διαπρέψαντα, διὰ Χριστὸν σμικρῷ σπηλαίῳ εἰσοικήσαντα, ὑμνῳδίαις τὸν Αὐξέντιον δεῦτε πάντες, ἀναδήσωμεν, ὡς ἔχοντα παρρησίαν καὶ πρεσβεύει πρὸς Χριστὸν τοῦ λυτρωθῆναι ἡμᾶς, τοὺς κραυγάζοντας· χαίροις Πάτερ Αὐξέντιε.

Ὁ Οἶκος,

Ἄνθρωπος μὲν τῇ φύσει, Ἄγγελος δὲ τοῖς τρόποις, ἐφάνης ὦ Αὐξέντιε Μάκαρ· τῆς γὰρ σαρκὸς τὰ πάθη νεκρώσας, καὶ τὰς ἡδονὰς καταπτύσας, ὑπέταξας τὸ χεῖρον τῷ κρείττονι, ἔξω σαρκὸς ἔτι ζῶν διετέλεις, διόπερ καὶ ἡμεῖς σοὶ βοῶμεν· χαίροις Ἀλαμανίας ὁ βλαστὸς καὶ τὸ ἄνθος· χαίροις ὁ ἐν γῇ πολιτεύων ὡς ἄσαρκος· χαῖρε στρατιῶν ὁ κοσμήτωρ καὶ Πρόβολος· χαῖρε πολεμίων νικήσας θρασύτητα· χαίροις ὅτι ἀπονέκρωσας τὸν ἀρχαῖον πτερνιστήν· χαίροις ὅτι Κύπρον ᾤκησας ἵνα λάβῃς κατ' ἐχθρῶν. Χαίροις συστρατιώτας τῷ Χριστῷ προσηγάγῳ· χαίροις τῶν σωζομένων, πλήθη πάμπολλα δείξας· χαῖρε τοῖς Ἀγγέλοις νῦν συναρίθμιος· χαῖρε τῶν Ἁγίων χοροῖς ἀγαλλόμενος· χαίροις ὁ τὴν Τριάδα καθαρῶς ἐποπτεύων· χαίροις ἀδιαλείπτως ὑπὲρ ἡμῶν πρεσβεύεις· χαίροις Πάτερ Αὐξέντιε.

Συνεξάριον.

---

ΜΗΝΙ ΤΩι ΑΥΤΩι, ΚΗ'.

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

# ΧΑΡΙΤΩΝΟΣ

## ΚΑΙ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΥΞΕΝΤΙΟΥ

## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Τὸν Αὐξέντιον ἐπαίνοις τοῖς μεγίστοις·
Ἐπαινῶ Αὐξήσαντα, τάλαντον θεῖον·
Ὀγδοάτῃ ἀμφ' εἰκάδι, Αὐξέντιος πρὸς πόλον ἤρθη.

Οὗτος ὁ Ὅσιος Πατὴρ ἡμῶν Αὐξέντιος, Ἀλαμάνος ἦν τὸ γένος, ὡς ἡ περὶ αὐτοῦ ἱστορία δηλοῖ· ἐκ ποίων δὲ γονέων, καὶ ποίας θρησκείας, καὶ εἰς τίνα καιρόν, οὐκ ἔχω τἀκριβὲς εἰπεῖν· ὃ δὲ περὶ αὐτοῦ, ἐπίσταμαι, τοῦτο ἄρχομαι διηγήσασθαι· ἐξ ἀρχῆς οὖν, αὐτῆς τῆς ἴβης, στρατείᾳ καὶ πολέμοις δοὺς ἑαυτόν, σφόδρα εὐδοκίμησε, καὶ τοῖς μὲν πολεμίοις φοβερώτατος, τοῖς δὲ σὺν αὐτῷ οὖσι στρατιώταις, ἥμερος, προσηνής, καὶ ποθεινότατος ἀνεδείχθη, ἔκ τινος δὲ θειοτέρας θεωρίας ὡς φασὶ περὶ αὐτοῦ, τὸν Κόσμον ἠρνήσατο, καὶ τὰ τούτου τερπνά, καὶ δόξαν ἅπασαν ὡς ὄναρ λογισάμενος, ἔπαυσεν ἀπορραγῆναι ἐξ αὐτῷ· ὅθεν καὶ τοῖς σὺν αὐτῷ, (τριακόσιοι γὰρ ἦσαν οἱ ὑπ' αὐτὸν τεταγμένοι στρατιῶται), ὥς φασί τινες, κοινωσάμενος τὰ κατ' αὐτόν, εὗρεν ἅπαντας πειθηνίους, καὶ διψῶντας, τοῦ ὅπερ αὐτὸς ἦν διψῶν, διόπερ οὐκ ἠμέλησεν, ἀλλ' ἐξ αὐτῆς τῆς βουλῆς τὴν πορείαν ἀρξάμενος, καὶ φθάσας ἔν τινι αἰγιαλῷ, κἀκεῖσε πλοῖόν τινα εὑρών, καὶ τούτου ἐπιβάς, σὺν ἅμα τοῖς προλεχθεῖσι στρατιώταις, τὴν περίφημον Κύπρον κατέλαβε, Θεοῦ ὁδηγίᾳ ὡς οἶμαι· φθάσαντες δὲ ἀπέβησαν τοῦ πλοίου, ἔνθα οἱ μὲν στρατιῶται, ἄλλος ἀλλαχοῦ ἅπαντες διεσπάρησαν, καὶ ὅποι ἂν ἕκαστος κατοικεῖν ἡρετίσατο, τοῦ μονήρους βίου τὴν ἀκρίβειαν ἀπαξάπαντες μετερχόμενοι· αὐτὸς δὲ ὁ Ὅσιος Πατὴρ ἡμῶν Αὐξέντιος, τὴν Κάρπασον οὕτω λεγομένην χώραν κατέλαβεν, ἔστι δ' αὕτη μέρος τι τῆς νήσου Κύπρου, καὶ σπήλαιον εὑρὼν εἴς τινα τόπον ἰούτιον, οὕτω παρὰ τοῖς ἐγχωρίοις καλούμενον, ἐν αὐτῷ κατῴκησεν· ἄκρα δὲ νηστείᾳ καὶ

σκληραγωγείᾳ δοὺς ἑαυτόν, ἕως οὗ, τὴν ψυχὴν καὶ τὸ σῶμα τῶν παθῶν ἐκκαθάρας, ναὸν τοῦ Ἁγίου Πνεύματος ἀπειργάσατο, καὶ τῶν αὐτοῦ χαρισμάτων χωριτικόν, τῇ διηνεκεῖ προσευχῇ καὶ ἀγρύπνῳ δεήσει, Θεῷ μόνῳ μόνος ἦν ὁμιλῶν, ὡς καὶ χαρίσματα ἰαμάτων παρ᾽ αὐτοῦ ἐδέξατο, καὶ θαυμάτων οὐκ ὀλίγων αὐτουργὸς ἐγεγόνει· τὰ δὲ παρ᾽ αὐτοῦ γεγονότα θαύματα, ἐπεὶ συντομίᾳ χρωμένοις οὐκ ἐτεθήκαμεν ἐν τῇδε τῇ ἱστορίᾳ, ἑνὸς δὲ μόνου μνησθησώμεθα, ἐξ οὗπερ καὶ τἆλλα πιστωθήσονται· Χρόνον τοίνυν ἱκανὸν διαρκέσας ἐν τῷ προλεχθέντι ἄντρῳ, ἐν εἰρήνῃ ἀνεπαύσατο, καὶ πρὸς Χριστὸν τὸν ποθούμενον ἀνέπτη, γέρα παρ᾽ αὐτοῦ ἀντάξια τῶν αὐτοῦ πόνων ἠλειφώς, συγχορεύων συνευφραίνεται, Ἀγγελικαῖς ὁμυγήρεσι· μετὰ δὲ παραδρομὴν ἐτῶν οὐκ ὀλίγων, εὑρέθη τὸ Ἅγιον αὐτοῦ λείψανον, ἐν ᾧ εἴρηται ἄντρῳ, μῦρα βρύων καὶ θαυμασίας ὀσμῆς πληρούμενον, παρά τινων πιστῶν, ἐκ κώμης καὶ ναυτοκώμης, (ὑπῆρχον γὰρ μεμιγμένοι ἐκ τῶν δύο τούτων χωρίων) ὅθεν καὶ ἔρις οὐκ ὀλίγη μεταξὺ τῶν ἀνδρῶν ἀνεφύη, ποῖοι δηλονότι ἐξ αὐτῶν λαβεῖν εἶχον ἐν τούτοις, οἱ μὲν γὰρ τῆς ναυτοκώμης ἔλεγον, ἡμῖν ἐστὶ δίκαιον λαβεῖν αὐτό, ὅτι καὶ πλησίον τῆς ἡμετέρας κώμης εὑρέθη, οἱ δὲ τῆς κώμης πάλιν ἀντέλεγον, οὐχὶ ἀλλ᾽ ἡμεῖς ληψόμεθα αὐτὸ ἐν τῇ ἡμετέρᾳ κώμῃ, ὅτι καὶ πλεῖστοι ἐσμὲν οἱ ἐντυχόντες τούτου· τούτων οὕτως ἐχόντων ἤρεσεν αὐτοῖς ἐκ συμφώνου, κομίσαι ἅμαξαν καὶ βόας, ἕνα ἐκ τῆς μιᾶς, ἕτερον δ᾽ ἐκ τῆς ἑτέρας κώμης, καὶ ἐν αὐτῇ ἐπιθῆσαι, τὸ Ἱερὸν καὶ Σεβάσμιον Λείψανον, εἶθ᾽ οὕτως ἀπολύσαι τοὺς βόας μόνους, ἄνευ τοῦ ὁδηγοῦντος, ἵνα πορευθῶσιν ὅποι ἂν ὁδηγηθοῖεν, ὑπ᾽ αὐτῆς τῆς ἄνωθεν προνοίας, τῇ τοῦ Ὁσίου εὐχῇ, ὅπερ καὶ ποιήσαντας κατεπαύσαντο τῆς ἔριδος· ἤγαγον οὖν τὴν ἅμαξαν, καὶ ἐπιθήσαντες ἐπ᾽ αὐτήν, τὸ Ἱερὸν καὶ εὐωδέστατον τοῦ Ὁσίου Λείψανον, ἔτι σῶον καὶ ἀδιάφθορον, φέροντες δὲ καὶ τοὺς βόας, τῇ ἁμάξῃ συνέζευξαν, εἶτα ἀπολύσαντες αὐτοὺς ὁδηγοῦ ἀμοιροῦντος ἐπορεύοντο, οἱ δ᾽ ἄνδρες συνείποντο αὐτοῖς, ἦλθον οὖν ἕως οὗ ἔφθασαν ἐν ᾧ τόπῳ νῦν ὁρᾶται, ὁ Ναὸς τοῦ Ὁσίου ᾠκοδομημένος· καὶ φθάσαντες ὢ τῶν θαυμασίων σου Χριστὲ Βασιλεῦ, ἔστησαν οἱ βόες ἀκίνητοι καὶ ἠρεμοῦντες, ἰδόντες δὲ οἱ λαοὶ τὸ παράδοξον τοῦ θαύματος, ἐπάραντες τὰς φωνὰς αὐτῶν ἔλεγον, τὸ Κύριε ἐλέησον, ἐπὶ ὥραν ἱκανήν, καθελόντες δὲ τὸ σεβασμιώτατον Λείψανον τῆς ἁμάξης, ἤγειραν Ναὸν περικαλλῆ καὶ ὡραιότατον, εἰς δόξαν Πατρός, Υἱοῦ, καὶ Ἁγίου Πνεύματος, τοῦ ἑνὸς καὶ φύσει μόνου Θεοῦ, τοῦ καὶ τὸν Ὅσιον θαυμαστώσαντος· ἐκ τούτου οὖν τοῦ θαύματος, ὡς



ἔφθην εἰπών, πιστοῦνται καὶ τὰ ὁσημέραι παρ᾽ αὐτοῦ τοῦ Ὁσίου γινόμενα πᾶσι τοῖς μετὰ πίστεως προσερχομένοις τῷ Ἁγίῳ αὐτοῦ Λειψάνῳ, καὶ πανηγυρίζουσιν, ἐτησίως τὴν σεβασμίαν αὐτοῦ καὶ φωσφόρον πανήγυριν· ταῖς πρεσβείαις τοῦ σοῦ Ὁσίου Αὐξεντίου, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸν λαόν σου ἐλευθέρωσον ἐκ παντοίων κινδύνων καὶ κακώσεων, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, ταῖς Ἐκκλησίαις σου τὴν ἕνωσιν βράβευε, καὶ ἡμᾶς πάντας ἐλέησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Σὲ νοητὴν Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί, ὡς γὰρ παῖδας ἔσωσε τρεῖς ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Δίς.

Πηγὴ σὺ εἶ ἀειζώου νάματος, Παρθενομήτωρ ὡς ἡμῖν, τετοκυῖα ῥεῖθρον τὸ ζῶν, ἅπαντας ἐξώωσας, χαῖρε ἡ κυήσασα Χριστὸν τὸν μόνον φιλάνθρωπον, τὸν αἰνετὸν τῶν Πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Ρῦσαι δεινῶν ψυχήν μου τὴν τάλαιναν, βυθιζομένην τοῖς κακοῖς, ἵνα κράζω χαῖρε Ἁγνή, χαῖρε παντευλόγητε, χαῖρε ἡ γεννήσασα ἡμῖν τὸν ἀκέστορα, τὸν αἰνετὸν τῶν Πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Σῶσον κἀμὲ τὸν πολλά σοι πταίσαντα, ὑπὲρ τὴν φύσιν τῶν βροτῶν· ἁμαρτῶντα καὶ ἀδεῶς, ὅλον ἐξυβρίσαντα, χαῖρε ἡ βυθίσασα δράκοντα τὸν δόλιον, καὶ τῆς αὐτοῦ κακουργίας τοὺς πάντας ἐκλυτρώσασα.

Ἄλλος. **Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.**

Τοὺς ἐν καμίνῳ Ἀβραμιαίους ἁμιλλώμενος, ζήλῳ εὐσεβείας δόγμα τυραννικόν, θεοφόρε κατεπάτησας· εὐλογητὸς εἶ ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Ὡς ἐν καμίνῳ, τῶν πειρασμῶν τοῖς ὑπεκκαύμασι· θεία δροσοβόλος χάρις ἐξ οὐρανοῦ, ἐπεσκέψατό σε Ὅσιε· εὐλογητὸς εἶ ὁ Θεός μου, κραυγάζων καὶ Κύριος.

Ὡς τετρωμένος, τῷ τῆς Τριάδος θείῳ ἔρωτι. Ταύτῃ ἰσαρίθμους μάνδρας πνευματικῶς μελῳδούσας ἀνατέθεικας· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Θεοτοκίον.

Τὸ τοῦ ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα· χαῖρε διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξί, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ἄλλος. **Θεοῦ συγκατάβασιν.**

Ἐν Κύπρῳ ἐμάκρυνας, τῶν φίλων πάντων ἐπιλαθόμενος, ἔτι δὲ γεννητόρων, καὶ τὴν στρατείαν καὶ πλοῦτον ἐπίκηρον, καὶ τὴν πενίαν ἠσπάσω, καὶ ἔμελπες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νεῦσον ταῖς δεήσεσιν, ἡμῶν τῶν πίστει ἀνακυκλούντων τὴν σὴν πανσεβάσμιον θήκην τῶν σῶν Λειψάνων Πάτερ Αὐξέντιε, καὶ τῶν δεινῶν σοὺς ἱκέτας ἐκλύτρωσαι, ἵνα βοῶμεν πιστῶς ὁ τῶν Πατέρων Θεός.

Μειζόνων ἠξίωσας τῶν χαρισμάτων Πάτερ τοῦ Πνεύματος· πρὸς Χριστὸν γὰρ Παμμάκαρ τὸν νοῦν καθάρας καὶ τὴν διάνοιαν, καὶ σὺν Ἀγγέλοις βοᾷς ἀγαλλόμενος· εὐλογητὸς ὁ Θεὸς ὁ των Πατέρων ἡμῶν.

Θεοτοκίον.

Εὐρύχωρον σκήνωμα, τοῦ λόγου μόνη τὸν ποιητὴν τοῦ παντός, συλλαβοῦσα ἐν μήτρᾳ, μὴ λυμανθείσης τῆς Παρθενίας τῆς σῆς· διὸ καὶ χαῖρε βοῶ σοι πανύμνητε, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ἐν καμίνῳ παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον Χρυσοῦ, ἀπέστιλβον λέγοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Δίς.*

Τὸ φῶς ἀναιτίου ἐκ φωτός, πρὸ πάντων τῶν αἰώνων, ἐκλάμψαν Παρθενομήτωρ, ἐπ' ἐσχάτων ἐκ τῆς σῆς γαστρὸς προελήλυθε, καὶ ἐφώτισε, τοὺς βοῶντας τὸ χαῖρε σοι τῇ Ἁγνῇ τε καὶ Παρθένῳ, καὶ ὑπερυψοῦντας τὸν ἄσπορόν σου τόκον,

Ὕμνους προσυφαίνειν σοι Ἁγνή, ἐκ ρυπαρῶν χειλέων, οἱ πάνυ μεμολυσμένοι οὐκ ἰσχύομεν· διὸ τὸ χαῖρε κραυγάζοντες, εὐλογοῦμεν εὐλογημένη Παρθένε τὸν τόκον σου, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Φώτισον Παρθένε, τὴν ἐμὴν ψυχὴν καὶ τὴν καρδίαν πανύμνητε. ὅπως ψάλλω, πρὸς Πατέρα, καὶ Υἱόν, καὶ Πνεῦμα τὸ Ἅγιον, εὐλογεῖτε τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ πεφωτισμένη ἀρεταῖς καὶ κάλλει Παρθενίας, παρίστασαι τῷ Δεσπότῃ, μνείαν πάντοτε ποιοῦ, κἀμοῦ πρὸς τὸν Κύριον, ὅπως μέλπω πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. **Χεῖρας ἐκπετάσας Δανιήλ.**

Τὰ στέρνα πυρούμενος φλογί, ἀδίκως Ὅσιε πλάνην κατέφλεξας αὐτὸς δὲ ἄφλεκτος ἔμεινας, ἐνεργείᾳ Θείου Πνεύματος· καὶ πρὸς εὐσέβειαν λαοὺς ψάλλειν διήγειρας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.



Χριστὸν ἐνεδύσω ἀληθῶς, τὸν πάλαι ἄνθρωπον ἀπεκδυσάμενος καὶ ἐθριάμβευσας Ὅσιε, τὸν τοῦ σκότους κοσμοκράτορα· ἐν αἰκισμοῖς μαρτυρικοῖς, μετ' εὐφροσύνης βοῶν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τοῦ Παύλου Χαρίτων ἀψευδῶς γενόμενος φοιτητής, τοῖς τούτου ἴχνεσιν, ἐπηκολούθησας Ὅσιε, καὶ ἀλείπτης ἐχρημάτισας. τῶν μοναζόντων γεγονὼς πᾶσι Κανὼν ἀρετῆς τοῖς βοῶσι πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς θεότητος γέγονας ἐνδιαίτημα πανάμωμε· μὴ φλογισθεῖσα τῷ πυρί, τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες σὲ εὐλογοῦμεν, Μαρία Θεόνυμφε.

Ἄλλος. **Ἑπταπλασίως κάμινος.**

Ἰδοὺ ἡμῖν ἐφέστηκεν, ἡ σὴ μνήμη Αὐξέντιε, ὡς φωτοφανὴς τῆς εὐσεβείας Ἥλιος, ἀκτίνας ἐκπέμπουσα, τὰς τῶν θαυμάτων Πάτερ τῶν σῶν καὶ καταφωτίζει, τοὺς πιστῶς μελῳδοῦντας, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ζῶν κἂν νεκρὸς λελόγισαι, τῇ ἁμάξῃ φερόμενος, ἔστησας αὐτῆς καὶ τῶν βοῶν τὴν κίνησιν, Παμμάκαρ Αὐξέντιε, τὸ τοῖς ὁρῶσι θαῦμα φρικτόν· ὅθεν μετὰ φόβου καὶ χαρᾶς ἀνεβόων, οἱ παῖδες εὐλογεῖτε; Ἱερεῖς ἀνυμνῆτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ ταῖς ἀΰλοις τάξεσιν αὐλιζόμενος ἔνδοξε, καὶ τὸ ὀρεκτὸν καὶ ἐφετὸν ἀκρότατον, Παμμάκαρ ἀπήλαυσας, καὶ σὺν Ἀγγέλοις τούτου τρυφᾷς, πρέσβευε καὶ νῦν ὑπὲρ ἡμῶν τῶν ἐν πίστει τελούντων σου τὴν μνήμην, τὴν σεπτὴν καὶ φωσφόρον, Αὐξέντιε Τρισμάκαρ εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νόσος δεινὴ κατέχει με, ραθυμίας Πανάχραντε, τῶν ἀνομιῶν μου· ταῖς σειραῖς σφιγκόμενος, οὐκ ἔχω τὶ πράξασθαι, ἢ ποῦ προσφύγω πλήν σου Ἁγνή· λύτρωσαι τῆς τούτων ἀθυμίας με ὅπως, βοῶσι σοι εὐχαρίστως, τὸ χαῖρε τοῦ Ἀγγέλου, χαῖρε δεδοξασμένη εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ'. Ὁ Εἱρμός.*

Τύπον τῆς Ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος· καὶ νῦν καθ' ἡμῶν τὸν πειρασμὸν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σὲ Θεοτόκε ἀκαταπαύστως μεγαλύνωμεν.

**Δίς.**

Χαῖρε Θεοτόκε Δέσποινα, ἡ τὸν Χριστὸν δυσὶ τελείαις ταῖς φύσεσι, τέξασα Θεόν, ὁμοῦ καὶ τέλειον ἄνθρωπον, ἐνεργείαις τε αὖθις δυσσούμενον, μιᾷ δὲ ὑποστάσει, ὅθεν σε πάντες μεγαλύνομεν.

Ψάλλων ὁ Δαβὶδ προέφησεν, ὁ ἐκ γαστρὸς προεωσφόρου ἐγέννησεν· ὁ Πατὴρ ἐκ σῶν αἱμάτων κόρη σεσάρκωται, διὸ νῦν σοὶ τὸ χαῖρε κραυγάζομεν· καὶ πάντες ἐν αἰνέσει, ἀκαταπαύστως μακαρίζομεν.

Ὥσπερ ὑετὸς κατέρχεται, ἐπὶ τὸν τόκον οὕτως ᾤκησε πάναγνε, ὁ λόγος τοῦ Θεοῦ ἐν τῇ ἀχράντῳ νηδυΐ σου, χαῖρε κόρη καὶ Μήτηρ ἀπείρανδρε, ἡ Κόσμον ρυσαμένη, τὰς μεθοδίας τοῦ ἀλάστορος.

Σῶσον Θεοτόκε Δέσποινα, τὸν ἀδεῶς τὰς ἁμαρτίας πράττοντα, καὶ τὸν σὸν υἱὸν ὑπὲρ ἐμοῦ καθικέτευε, ὅπως εὕρω συγγνώμην ὁ ἄθλιος, ρυσθεὶς ἵνα σοι κράζω, χαῖρε ἐλπὶς καὶ προστασία μου.

Ἄλλος. **Λίθος ἀχειρότμητος.**

Ὁ Τάφος ὁ Πρόξενος λήθης, ἐπικαλύψαι ἴσχυσέ σου Ὅσιε Χαρίτων ἀρετάς, ἡ σὴ γὰρ μνήμη διαιωνίζουσα, ἡλιακῶς ἐξέλαμψεν, ἣν ἐπαξίως μεγαλύνομεν.

Δεῦτε τὴν ἐτήσιον μνήμην, Πνευματικῶς ἐπιτελοῦντες· τῇ τῶν ἀρετῶν ἐκμιμήσει, τὸν Θεοφόρον πάντες ζηλώσωμεν καὶ σὺν αὐτῷ βοήσωμεν, σὲ μεγαλύνομεν Τρισάγιε.

Μονάδα μὲν θείας οὐσίας, ἀλλ' ὑποστάσεων Τριάδα, πάντες οἱ πιστοὶ προσκυνοῦμεν, ἐν ἀσυγχύτοις ταῖς ὑποστάσεσιν ἰσοσθενῆ ὁμότιμον, ἣν εὐσεβοῦντες μεγαλύνομεν.

**Θεοτοκίον.**

Χαῖρε καὶ εὐφραίνου ἡ Νύμφη τοῦ Βασιλέως τοῦ Μεγάλου κατοπτριζομένη τηλαυγῶς, τοῦ σοῦ Νυμφίου τὴν ὡραιότητα ὑπὲρ χρυσίον λάμπουσαν, καὶ ὑπὲρ Ἥλιον ἀστράπτουσαν.

Ἄλλος. **Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανός.**

Ἰδών σου τῆς καρδίας τὸ καθαρόν, ὁ εἰδὼς τῶν βροτῶν τὰ νοήματα, Χριστὸς Σοφέ, καὶ στρατείας ἥρπασέ σε τῆς πρὶν καὶ κοινωνὸν ἀνέδειξε, δόξης Θείας Μάκαρ καὶ φωτισμοῦ, καὶ νῦν καθικετεύεις ὑπὲρ ἡμῶν τῶν πίστει τιμώντων Πάτερ τὴν σὴν Πανήγυριν.

Κοσμήσας τῆς ψυχῆς σου τὸ εὐγενές, καὶ δακρύων κρουνοῖς κατεμάρανας, τὰς τῶν παθῶν ἀκάνθας Αὐξέντιε καὶ σοφὸς ἐγένου μεγαλέμπορος, τὸν γὰρ Μαργαρίτην τὸν νοητόν, εὑρὼν Χριστόν, καὶ τούτου πρὸς τρίβους ὡδηγήθης, καὶ νῦν ἡμῶν Πάτερ μνημόνευε.

Πλουσίως περιέλαμψας τῷ φωτί, τῆς Ἁγίας Παμμάκαρ Αὐξέντιε, φωτοειδῶς περιπολευούσης τὸ τρισσὸν φῶς, καὶ δεχόμενος χάριτι, τὰς τῆς θεοπτίας φωτοβολάς· μὴ παύσῃ ἱκετεύων, ἀφέσεως πταισμάτων, ἀξιωθῆναι τοὺς ὑμνοῦντάς σε.



*Θεοτόκιον.*

Ἡνίκα ἔλθῃς κρίναι πᾶσαν τὴν γῆν, καὶ σαλπίσει ὁ μέγας Ἀρχάγγελος, καὶ ποταμὸς ὑπερεκχυθήσεται τοῦ πυρός, τότε Χριστέ με σύνταξον, δεξιοῖς προβάτοις καὶ ἐξελοῦ, μερίδος τῶν ἐρήφων, προβάλλομαί σε πρέσβυν, τὴν σὲ τεκοῦσαν Ἀειπάρθενον.

Καταβασία. **Ἅπας γηγενής.**

Ἐξαποστειλάριον. **Γυναῖκες ἀκουτίσθητε.**

Ἀθλήσει νῦν τὸ πρότερον, καλῶς ἐγγυμνασάμενος, τὸ δεύτερον δὲ ἀσκήσει, δρόμον τὸν θεῖον τελέσας εἰς Οὐρανοὺς ἀνέδραμες, καὶ τῷ Χριστῷ παρίστασαι, Χαρίτων Πάτερ Ὅσιε, ὑπὲρ ἡμῶν ἐντυγχάνων τῶν σὲ θερμῶς ἀνυμνούντων.

Ἕτερον. **Τοῖς μαθηταῖς συνέλθωμεν.**

Ὁ ἐν πολέμοις πρότερον, καὶ στρατείᾳ σχολάζων, Αὐξέντιος ὁ μέγιστος, Ἀλαμάνων τὸ θράσος, τὸν ἀσκητὴν ἐφάμιλλος, ἠγωνίσθη γενναίως, τοῦ διαβόλου ἔλυσε πᾶσαν τὴν τυραννίδα, καὶ τῆς Τριάδος γέγονε, μύστης ἀξιολέκτης, ὁ καὶ νῦν παριστάμενος, πρεσβεύει ὑπὲρ πάντων.

*Θεοτοκίον.*

Τὸ χαῖρε σοι ὁ Ἄγγελος, προσεφώνει Παρθένε, τὸν τοῦ ὑψίστου λέγων σοι υἱὸν τέξεις ἀσπόρως, καὶ Παρθενίαν καὶ τόκον, εἰς ἓν συνάψεις προσφόρως, ὅθεν πᾶσα δόξα γεραίρει καὶ μακαρίζει· καὶ τὸν υἱόν, τὸν ἐκ σοῦ τεχθέντα ἀνερμηνεύτως, ὑμνολογεῖ ὡς ρύστην τε καὶ σωτῆρα τοῦ Κόσμου.

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια ἦχος πλ. δ'.

**Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τῆς ὑπὲρ νοῦν ἀσκήσεως, τοῦ Αὐξεντίου καὶ γάρ, ὅστις ἄσαρκος γέγονε, προσευχαῖς καὶ δάκρυσι, καὶ νηστείᾳ ἠλόγησε, κακίαν κόσμου, πᾶσαν τερπνότητα Θεοῦ τὴν δόξαν ἐνοπτριζόμενος, ᾧ καὶ παρίστασαι, πρέσβυς ἀκατάπαυστος καὶ πρὸς Χριστὸν πάντοτε δεόμενος τοῦ οἰκτηρῆσαι ἡμᾶς.

Δίς.

Δεῦτε εὐφημῆσαι σπεύσωμεν, οἱ ἀθροιστέντες πιστῶς, Αὐξεντίου πανήγυριν, ἀσκητῶν τὸ καύχημα, καὶ Ὁσίων ἀγλάϊσμα καὶ τῶν κφμήτων μέγιστον ἔρεισμα, καὶ Καρπασέων τὸν ἀντιλήπτορα δράμωμεν ἅπαντες, πιστῶς καὶ βοήσωμεν, ταῖς σαῖς εὐχαῖς, πρέσβευε πρὸς Κύριον οἰκτηρηθῆναι ἡμᾶς.

Θαῦμα τοῖς ὄρεσι πρόκειται, ἡ τῶν Λειψάνων σωρός, τοῦ Ὁσίου καὶ βλύζει γάρ, κρουνιδὸν ἰάματα τοῖς νοσοῦσι καὶ δαίμονας ἀποδιώκει, καὶ τούτων φάλαγκας, καὶ καταπαύει πᾶσαν δυσχέρειαν, ᾧ νῦν βοήσωμεν, Ἅγιε Αὐξέντιε, πάντων ἡμῶν, μέμνησο πρὸς Κύριον, τοῦ ἐλεῆσαι ἡμᾶς.

Δόξα, ἦχος πλ. α'.

Ὅσιε Πάτερ τῆς Εὐαγγελικῆς φωνῆς ἀκήκοας ἐπικαλούσης σε καὶ κόσμον ἐβδελύξω, εἰς οὐδὲν λογισάμενος ἅπαντα, στρατείαν, πλοῦτον καὶ τρυφὴν τὴν ἐνήδονον, ζωὴν ὡς μοχθηρὰν κατέρριψας φυγαδεύων σεαυτόν, τούτων πάντων κατεμάκρυνας, ἵνα αὐξήσῃς τῆς χῆς σου τὰ Χαρίσματα, Αὐξέντιε Παμμακάριστε, κατάλληλον τῇ κλήσει, καὶ τὸν τρόπον ἐνδειξάμενος ὅθεν συναγαλλόμενος ταῖς οὐρανίαις χοροστασίαις, καὶ τῇ Τριάδι παρεστώς, μνείαις ὑπὲρ ἡμῶν τῶν πιστῶς ἐπιτελούντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν Θεοτοκίον. **Μακαρίζομέν σε Θεοτόκε. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Τυπικά, καὶ ἐκ τοῦ Κανόνος, Ὠδὴ γ'. καὶ στ'. Ἀπόστολον καὶ Εὐαγγέλιον Ὁσιακόν. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ